www.e-rara.ch

# Antonini Liberalis Transformationum congeries

**Antoninus**

**Basileae, 1568**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-153

Antigonou historiōn paradoxōn synagōgē

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΑΝΤΙΓΟΝΟΥ ΙΣΤΟ-ρίων παραδόξων συναγωγή.

Τίμαιος ὁ τὰς Σικελικὰς ἱστο- α΄
ρίας συγγεγραφὼς, ἐν Ῥηγίῳ
φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥη-
γίνους ὁρίζοντος Ἅληκος κα-
λουμένου ποταμοῦ, τῶν τεττί-
γων τοὺς μὲν ἐν τῇ Λοκρικῇ ᾄδειν, τοὺς δὲ ἐν τῇ
Ῥηγίνων ἀφώνους εἶναι. Λέγεται δέ τι τούτου
μυθωδέστερον. ἀφικομένων γὰρ εἰς Δελφοὺς κι-
θαρῳδῶν, Ἀρίστωνος μὲν ἐκ Ῥηγίου, παρὰ δὲ
Λοκρῶν Εὐνόμου, καὶ περὶ τοῦ κλήρου πρὸς
ἑαυτοὺς εἰς ἀντιλογίαν ἐλθόντων, ὁ μὲν οὐκ ᾤετο
δεῖν ἐλαττοῦσθαι τῆς ὅλης Ῥηγίνων ἀποικίας ἐκ
Δελφῶν, καὶ παρὰ τοῦ θεοῦ γεγενημένης· ὁ δὲ
κατέτρεχεν, ὅτι τὸ παράπαν οὐδὲ κιθαρῳδεῖν
καθήκει, παρ' οἷς οὐδ' οἱ τέττιγες ᾄδουσιν. εὐημε-
ρήσαντος γ' οὖν τοῦ Ῥηγίνου ἐν τῷ ἀγῶνι, ἐνίκη-
σεν Εὔνομος ὁ Λοκρὸς, παρὰ τοιαύτην αἰτίαν·
ᾄδοντος αὐτοῦ, μεταξὺ τέττιξ ἐπὶ τὴν λύραν
ἐπιστὰς, ᾖδεν· ἡ δὲ πανήγυρις ἀνεβόησεν ἐπὶ
τῷ γεγονότι, καὶ ἐκέλευσεν ἐᾶν. Καὶ β΄
ἄλλο δὲ παρὰ τοῖς Ῥηγίνοις τοιοῦτον, ὡς μυθικὸν
ἱστορεῖται, ὅτι Ἡρακλῆς ἔν τινι τόπῳ τῆς χώρας
κατακοιμηθεὶς, καὶ ἐνοχλούμενος ὑπὸ τῶν

τεττίγων, ηὔξατο αὐτοὺς ἀφώνους γενέσθαι.
γʹ Καὶ ἐν Κεφαλληνίᾳ δὲ ποταμὸς διείργει· καὶ ἔνθεν τάδε μὲν γίνονται τέττιγες, ἐπέκεινα δὲ,
δʹ οὔ. Οὐδ' ἐν Σερίφῳ δὲ οἱ βάτραχοι φθέγγονται. καὶ μυθώδεις καὶ περὶ τοῖς Σεριφίοις ἐνίᾳσιν πλὴν οἱ μὲν περὶ Ἡρακλέους, οἱ δὲ
ε περὶ Περσέως. Ὁ δὲ Μυρσίλος ὁ τὰ Λεσβιακὰ συγγεγραφὼς, φησίν· τῆς Ἀντισσαίας ἐν ᾧ τόπῳ μυθολογεῖται, καὶ δείκνυται δὲ ὁ τάφος ὑπὸ τῶν ἐγχωρίων τῆς τοῦ Ὀρφέως κεφαλῆς, τὰς ἀηδόνας εἶναι εὐφωνοτέρας τῶν ἄλ-
ϛʹ λων. Εἴποι δ' ἂν τὸ γένος τῆς ἐκλογῆς, εἰς τοὺς λεγομένους ἐν τῇ Ἀττικῇ καὶ Βοιωτίᾳ πέρδικας· ὧν τοὺς μὲν εὐφώνους, τοὺς δὲ τελέως
ζʹ ἰσχνοφώνους ὁμολογεῖται γίγνεσθαι. Ἴδιον δὲ καὶ τὸ περὶ τὰ ἔντερα τῶν προβάτων· τὰ μὲν γὰρ τῶν κριῶν ἐστιν ἄφωνα, τὰ δὲ τῶν θηλειῶν, εὔφωνα· ὅθεν καὶ τὸν ποιητὴν ὑπολάβοι τις εἰρηκέναι, πολυπράγμονα πανταχοῦ καὶ περιττὸν ὄντα,

Ἑπτὰ δὲ θηλυτέρων οἴων ἐτανύσσατο χορδάς.

η Οὐχ ἧττον δὲ τούτου θαυμαστὸν, καθωμιλημένον δὲ μᾶλλον, τὸ περὶ τῆς ἐν τῇ Σικελίᾳ ἀκάνθης, τῆς καλουμένης κάκτου· εἰς ἣν ὅταν ἔλαφος ἐμβῇ καὶ τραυματισθῇ, τὰ ὀστᾶ ἄφωνα καὶ ἄχρηστα πρὸς αὐλοὺς ἴσχει· ὅθεν καὶ ὁ Φιλητᾶς ἐξηγήσατο περὶ αὐτῆς, εἴπας·

Γηρύ

κηρύξατο δὲ νεβρὸς ἀπὸ ζωὴν ὀλέσασα, ‹‹
ὀξείης κἀκ τοῦ τύμμα φυλαξαμένη. ‹‹

Ἐν δὲ ταῖς τῶν Λημνίων νήσοις ταῖς καλουμέναις θ′
Νέαις, πέρδικες οὐ γίνονται, ἀλλὰ κἂν ἴδῃ τις,
ἀπόλλυνται· ἔνιοι δὲ τούτου τερατωδέστερον
ἱστοροῦσιν, ὅτι κἂν ἴδωσι τὴν χώραν. Τῆς δὲ Βοιω- ι′
τίας ἐχούσης πλήθει πολλοὺς ἀσπάλακας, ἐν
τῇ Κορωνικῇ μόνῃ οὐ γίνεσθαι τοῦτο τὸ ζῶον, ἀλλὰ
κἂν εἰσαχθῇ τελευτᾷ, καθάπερ αἱ γλαῦκες
ἐν Κρήτῃ ἐν ᾗ λέγουσιν· οὐδὲ ζῶον θανάσιμον οὐδὲν
τὴν χώραν φέρειν. Ἐν Ἀστυπαλαίᾳ δὲ ὄφεις ια′
οὐ γίνονται, οὐδὲ ἐν Ἰθάκῃ λαγῶς· οὐδὲ ἐν Λι-
βύῃ, ὗς ἀγρία, οὐδ᾽ ἔλαφοι· οὐδὲ ἐν Ῥηνίᾳ τῇ πρὸς
Δήλῳ, γαλῆ· οὐδὲ μελεαγρὶς οὐδαμοῦ ἄλλῃ
ὁρᾶται. Ἀμελησαγόρας δὲ ὁ Ἀθηναῖος ὁ ιβ′
τὴν Ἀτθίδα συγγεγραφώς, οὔ φησι κορώ-
νην προσίπτασθαι πρὸς τὴν ἀκρόπολιν, οὐδ᾽ ἔχοι
ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. Ἀποδίδωσιν δὲ τὴν
αἰτίαν μυθικῶς. Φησὶν γὰρ Ἡφαίστῳ δοθείσης
τῆς Ἀθηνᾶς, συγκατακλιθεῖσαν αὐτὴν ἀφα-
νισθῆναι· τὸν δὲ Ἥφαιστον εἰς γῆν πεσόν-
τα, προΐεσθαι τὸ σπέρμα· τὴν δὲ γῆν ὕστε-
ρον αὐτῷ ἀναδοῦναι Ἐριχθόνιον· ὃν τρέφειν
τὴν Ἀθηνᾶν, καὶ εἰς κίστην καθεῖρξαι, καὶ πα-
ραθέσθαι ταῖς Κέκροπος παισὶν, Ἀγραύλῳ,
καὶ Πανδρόσῳ καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ

ἀνοίγειν τὴν κίστην, ἕως ἂν αὐτὴ ἔλθῃ· ἀφικνουμένην δὲ εἰς Πελλήνην, φέρειν ὄρος, ἵνα ἔρυμα πρὸ τῆς ἀκροπόλεως ποιήσῃ· τὰς δὲ Κέκροπος θυγατέρας τὰς δύο, Ἄγραυλον καὶ Πάνδροσον, τὴν κίστην ἀνοῖξαι, καὶ ἰδεῖν δράκοντας δύο περὶ τὸν Ἐριχθόνιον· τῇ δὲ Ἀθηνᾷ φερούσῃ τὸ ὄρος, ὃ νῦν καλεῖται Λυκαβηττός, κορώνην φησὶν ἀπαντῆσαι, καὶ εἰπεῖν, ὅτι Ἐριχθόνιος ἐν φανερῷ· τὴν δὲ ἀκούσασαν, ῥῖψαι τὸ ὄρος ὅπου νῦν ἐστί· τῇ δὲ κορώνῃ διὰ τὴν κακαγγελίαν, εἰπεῖν, ὡς εἰς ἀκρόπολιν οὐ θέμις αὐτῇ

ιγ' ἔσται ἀφικέσθαι. Οὐδὲ κατὰ τὴν Σκυθῶν χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλίαν ἡμίονος οὐ

ιδ' γεννᾶται. Θεόπομπος δέ φησιν κατὰ τοὺς ἐν Θράκῃ Χαλκιδεῖς, εἶναί τινα τόπον τοιοῦτον, εἰς ὃν ὅτι μὲν ἂν τῶν ἄλλων ζώων εἰσέλθῃ, πάλιν ἀπαθὲς ἀπέρχεται· τῶν δὲ κανθάρων οὐδεὶς διαφεύγει· κύκλῳ δὲ στρεφόμενοι, τελευτῶσιν αὐτοῦ. Διὸ δὴ καὶ τὸ χωρίον ὀνομάζεσθαι

ιε' Κανθαρόλεθρον. Ἐν δὲ Κραννῶνι τῆς Θετταλίας, δύο φασὶν μόνον εἶναι κόρακας· διὸ καὶ ἐπὶ τῶν προξενιῶν τῶν ἀναγραφομένων τὸ παράσημον τῆς πόλεως (καθάπερ ἐστὶν ἔθιμον πᾶσι προσπαρατιθέναι) ἐπιγράφονται δύο κόρακες ἐφ' ἁμαξίου χαλκοῦ, διὰ τὸ μηδέποτε πλείους τούτων ὦφθαι. Ἡ δὲ ἅμαξα προσπαράκειται

ἐμφαίνεται διὰ τοιαύτην αἰτίαν. ξένον γὰρ ἴσως ἂν καὶ τοῦτο φανείη. ἔστιν αὐτοῖς ἀνακειμένη χαλκῆ, ἣν ὅταν αὐχμὸς ᾖ σείοντες ὕδωρ αἰτοῦνται τὸν θεόν, καί φασι γίνεσθαι. τούτου δέ τι ἰδιώτερον ὁ Θεόπομπος λέγει. φησὶν γὰρ ἕως τούτου διατελεῖν αὐτοὺς ἐν τῇ Κράννωνι, ἕως ἂν τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν· τοὺς δὲ ποιήσαντας, τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀνιέναι.

Καὶ ἐν Ἐκβατάνοις δὲ καὶ ἐν Πέρσαις Κτησίας ιϛ'
ἱστορεῖ παραπλήσιόν τι τούτοις· διὰ δὲ τὸ αὐτὸν πολλὰ ψεύδεσθαι παρελείπομεν τὴν ἐκλογήν. καὶ γὰρ ἐφαίνετο τερατώδης. Μύρσιλος ιζ'
δὲ ὁ Λέσβιος, ἐν τῷ ὄρει φησὶν Λεπετύμνῳ, ἱερὸν Ἀπόλλωνος εἶναι, καὶ Ἡρῷον Λεπετύμνου, ἐφ' ᾧ καθάπερ ἐν τῇ κραννῶνι δύο μόνον εἶναι κόρακας, ὄντων οὐκ ὀλίγων ἐν τοῖς πλησίον τόποις. Ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀ- ιη'
ριστοτέλης τοὺς σκορπίους, ἐὰν μὲν τῶν ξένων τινὰ πατάξωσιν, μετρίως λυπεῖν· ἐὰν δὲ τῶν ἐγχωρίων, ἕως θανάτου κατατείνειν. Τῶν δὲ Λι- ιθ'
βύων καλοῦνται Ψύλλοι τινές, παρ' οἷς ἀνάπαλίν τι γίνεται τούτου· ὑπὸ γὰρ τῶν ἀσπίδων οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι· τῶν δὲ λοιπῶν, οὐκ ἔστιν ὅστις διαφεύγει δηχθείς. Ἐν κ'
Λυκίᾳ φύεταί τι αἰγόλεθρον, ὃ τῶν μὲν ἐγχωρίων αἰγῶν οὐδεμία γεύεται· ξένη δ' ὅταν ἐμπέ-

σῃ, καὶ διὰ τὴν ἄγνοιαν φύγῃ τῆς βοτάνης, ἀπόλλυται, διαφθαρεῖσα τὸν καλούμενον ἐχῖνον
κα΄ τῆς κοιλίας. Τῆς δὲ Καρυστίας καὶ τῆς Ἀνδρίας χώρας ἐστὶν πλησίον νῆσος, ἡ καλουμένη Γύαρος· ἐνταῦθα οἱ μῦες διατρώγουσι τὸν σίδηρον. ἐν δὲ τῇ νήσῳ θανάσιμός ἐστιν ἡ ἀχερδος. κἂν εἰς ἄλλο δένδρον ἐμπλήξῃς, ἀφαναί-
κβ΄ νει. Ποιεῖ δὲ αὐτὸ τοῦτο καὶ τὸ τῆς τρύγονος κέντρον τῆς θαλαττίας· καὶ ἐὰν εἰς τοὺς ὀδόντας
κγ΄ ἄψῃ, κατασήπει. Ἴδια δὲ καὶ περὶ τὰς συγκρίσεις καὶ ἀλλοιώσεις τῶν ζώων, ἔτι δὲ γενέσεις. Οἷον ἐν Αἰγύπτῳ τὸν βοῦν ἐὰν κατορύξῃς ἐν τόποις τισὶν, ὥστε αὐτὰ τὰ κέρατα τῆς γῆς ὑπερέχειν, εἶθ' ὕστερον ἀποπρίσῃς, λέγουσιν μέλιττας ἐκπέτεσθαι. σαπέντα γὰρ αὐτὸν, εἰς τοῦτο διαλύεσθαι τὸ ζῶον· ᾧ καὶ φαίνεται Φιλήτας προσέχειν, ἱκανῶς ὢν περίεργος· προσαγορεύει οὖν αὐτὰς βουγενεῖς, λέγων·

Βουγενέας φάμενος προσεβήσαο μακρὰ
μελίσσας.

Φασὶ δὲ καὶ τὸν κροκόδειλον σκορπίους γεννᾶν, καὶ ἐκ τῶν ἵππων σφῆκας γεννᾶσθαι. καί τις Ἀρχέλαος Αἰγύπτιος τῶν ἐν ἐπιγράμμασιν ἐξηγουμένων τὰ παράδοξα τῷ Πτολεμαίῳ, περὶ μὲν τῶν σκορπίων, οὕτως εἴρηκεν·

Εἰς

Εἰς ὑμᾶς κροκόδειλον ἀποφθίμενον διαλύει
Σκορπίοι, ἡ πάντα ζωοθετοῦσα φύσις.

Περὶ δὲ τῶν σφηκῶν·

Ἐκ νέκυος ταύτην ἵππου γράψασθε γενέθλην.
Σφήκεσσι γὰρ ζώων οἷα τίθησι φύσις.

Ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν σισυμβρείων φησὶν
σαπέντων σκορπίους γίνεσθαι. Οὐχ ἧττον δὲ κδ'
τούτων θαυμάσια τὰ φθαρτικὰ τῶν ὠφε-
λούντων, οἷον ὁ γαλεώτης, ὅτ' ἂν ἐκδύῃ τὸ
γῆρας, ἐπιστραφεὶς κατέπιεν· ἐπιληψίας
γάρ ἐστι φασίν, ὡς ὁ Ἀριστοτέλης καταγράφει,
φάρμακον· ὡσαύτως δ' ἡ φώκη μετὰ τὸ τεκεῖν
τὴν θορόν· καὶ γὰρ τοῦτο πρὸς τὴν αὐτὴν ἀῤ-
ῥωστίαν χρήσιμον· τὰς δὲ ἵππους τὸ ἐπιφυό-
μενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀπεσθίειν· γί-
νεσθαι δὲ τοῦτο ἐπὶ τοῦ μετώπου, καὶ πρὸς
πολλὰ ζητεῖσθαι· τὴν δὲ ἔλαφον τὸ δεξιὸν
κέρας κατορύσσειν· εἶναι δὲ καὶ τοῦτο ἐν πολ-
λοῖς χρήσιμον· ταῦτα μὲν οὖν εἴτε κατὰ προαί-
ρεσιν, εἴτε κατὰ τύχην οὕτως ἔχει, πολλῆς
ἐστὶν ἐπιστάσεως δεόμενα. Ὁ δὲ πολύπους κε'
ἐν τῷ χειμῶνι τὰς πλεκτάνας αὐτοῦ κα-
τεσθίει· τοῦτ' ἐστίν,

Ἤματι χειμερίῳ ὅτ' ἀνόστεος ὃν πόδα τέ-
μνει.

Τοὺς δὲ γαλεοὺς τὰ ἔμβρυα ἐξιόντα ἐκ τῆς

κοιλίας

κοιλίας, νέμεται· καὶ πάλιν ἐκδύεται κατὰ τὸ στόμα. Ἡ δὲ λέαινα δὶς οὐ κυΐσκεται· τοῖς γὰρ ἐμβρύοις, ὥς φησιν Ἡρόδοτος, συνεκβάλλει τὰς μήτρας. Οὐδὲ ἔχιδνα δίς· ἐσθίει γὰρ αὐτῆς τὴν κοιλίαν, τὰ ἔμβρυα.

κϛ' Ἡ νυκτερὶς δὲ μόνον τῶν ὀρνέων ὀδόντας ἔχει, καὶ μαστοὺς καὶ γάλα. Φησὶ δὲ ὁ Ἀριστοτέλης καὶ φώκην καὶ φάλαιναν ἔχειν γάλα· τούτων δὲ οὐχ ἧττον καταγράφει τερατῶδες· ἐν Λήμνῳ γάρ φησιν ἀμελχθῆναι γάλα τράγου τοσοῦτον, ὥστε τροφαλίδας γενέσθαι.

κζ' Τῶν δὲ ἀλκυόνων οἱ ἄρσενες κηρύλοι καλοῦνται· ὅταν οὖν ὑπὸ τοῦ γήρως ἀσθενήσωσι, καὶ μηκέτι δύνωνται πέτεσθαι, φέρουσιν αὐτοὺς αἱ θήλειαι ἐπὶ τῶν πτερῶν λαβοῦσαι· καί ἐστι τὸ ὑπὸ τοῦ Ἀλκμᾶνος λεγόμενον τούτῳ συνῳκειωμένον· φησὶ γὰρ ἀσθενὴς ὢν διὰ τὸ γῆρας, καὶ τοῖς χοροῖς οὐ δυνάμενος συμπεριφέρεσθαι, οὐδὲ τῇ τῶν παρθένων ὀρχήσει.

Οὔ μ' ἔτι παρθενικαὶ μελιγάρυες ἱερόφωνοι
Γυῖα φέρειν δύναται, βάλε δὴ βάλε κηρύλος εἴην.
Ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται,
Νηλεὲς ἦτορ ἔχων ἁλιπόρφυρος ἔαρος ὄρνις.

κη' Ἱκανῶς δὲ καὶ ὁ πηκίτης λέγεται παρὰ πάντων ἐπιμελὴς καὶ πολυπράγμων εἶναι· ὁ γὰρ Ὀδυσ-

Ὀδυσσεὺς ἐπιφερομένων αὐτῷ τῶν κυνῶν ἐν τῇ πρὸς τὸν συβώτην ἀναβάσει,

Ἕζετο κερδοσύνῃ σκῆπτρον δέ οἱ ἔκπεσε
χειρός.

Οὐ γάρ φασιν ὅτ' ἂν διωκόμενός τις συγκαθέσῃ ἀδικεῖν τοὺς κύνας. Θαυμαστὰ δὲ καὶ τὰ τοῖς κθ
τόποις συναφομοιούμενα, οἷον ὅτε πολύπους· γίνεται γὰρ ἀδιάγνωστος τῷ χρώματι τοῦ ἐδάφους καὶ παντὸς ᾧ ἐὰν περιπλακῇ, ὥστε εἶναι δυσεργὸν αὐτοῦ τὴν θήραν· ὅθεν δῆλον καὶ ὁ ποιητὴς τὸ θρυλλούμενον ἔγραψεν,

Πουλύποδος ὡς τέκνον ἔχων ἐν στήθεσι θυμὸν,
τοῖσιν ἐφαρμόζειν.

Γίνεται δὲ ταυτὸν καὶ περὶ τὸν χαμαιλέοντα· λ
καὶ γὰρ τοῖς στελέχεσι τῶν δένδρων καὶ τοῖς φύλλοις, καὶ τῇ γῇ τὸν αὐτὸν τρόπον ἅπαντι τόπῳ συμμεταβάλλει τὴν χροιάν. Ἀριστο- λα
τέλης δέ φησι καὶ τὸν καλούμενον τάραντον τοῦτο πάχειν, ὄντα τετράπουν, καὶ σχεδὸν ἴσον ὄνῳ, καὶ παχύδερμον, καὶ τετριχωμένον, καὶ θαυμαστὸν εἶναι, πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλλοιοῦνται. Γίνεται δὲ καὶ βοτάνη τις, ἣ λβ
καλεῖται τριπόλιον· φύεται δ' ἐν τοῖς ἐπιθαλαττίοις ἐπὶ τῶν πετρῶν· ἀφίησι δὲ ἄνθος, ὃ τῆς ἡμέρας τρὶς μεταστρέφεται τὸ χρῶμα· γίνεται δὲ ὅτε μὲν λευκὸν, ὅτε δὲ φοινικοῦν, ὅτε δὲ μήλινον.

μήλινον. Καὶ μὴν τάς τε λοιπὰς ἐντρε-
χείας τῶν ζώων, οἷον ἐν μάχαις, ἐν θεραπείαις
τραυμάτων, ἐν παρασκευαῖς τῶν πρὸς τὸν βίον
ἀναγκαίων, ἐν φιλοστοργίαις, ἐν μνήμαις, ἀ-
κριβέστατ' ἄν τις ἐκ τῆς τοῦ Ἀριστοτέλους συνα-
γωγῆς καταμάθοι, ἐξ ἧς ἡμεῖς πρόχειρον ποιη-
λγ' σόμεθα τὴν ἐκλογήν. Φησὶ περὶ Κωνώπιον
τῆς Μαιώτιδος λίμνης, τοὺς λύκους παρὰ τῶν ἁλιέ-
ων λαμβάνοντας τροφὴν, φυλάττειν τὴν θήραν·
ἂν δ' ἀπολαύωσί τι ἀδικεῖσθαι, λυμαίνεσθαι
λδ' τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν. Ἐν Θρᾴκῃ δὲ
τῇ κληθείσῃ ποτὲ Κεδρείπολι, τοὺς ἀνθρώπους, καὶ
τοὺς ἱέρακας κοινῇ θηρεύειν τὰ ὀρνιθάρια. τοὺς μὲν
γὰρ σοβεῖν τοῖς ξύλοις, τοὺς δὲ ἱέρακας κατα-
διώκειν· τὰ δὲ φεύγοντα εἰς τοὺς ἀνθρώπους ἐμ-
πίπτειν· διὸ καὶ μεταδιδόναι τοῖς ἱέραξιν αὐ-
λε' τοὺς τῶν ληφθέντων. Τὰς δ' ἐλάφους
λέγει τίκτειν παρὰ τὰς ὁδοὺς, φευγούσας τὰ
θηρία· ἥκιστα γὰρ ἐπιτίθεσθαι τοὺς λύκους
ἐνθάδε· ἄγειν δὲ καὶ τὰ τέκνα ἐπὶ τῶν σταθμῶν
ἐθιζούσας οὗ δεῖ ἀποφεύγειν· εἶναι δὲ τοῦτο, πέ-
τραν ἀπόρρωγα μίαν ἔχουσαν ὁδόν· ἤδη δὲ εἰλῆ-
φθαι ἀχαΐνην ἔλαφον, κιττὸν ἔχουσαν ἐπὶ
τῶν κεράτων, ὡς ἂν ἐνύγρων ὄντων· ἁλίσκεσθαι
δὲ ἐλάφους καὶ συριττόντων καὶ ᾀδόντων, ὥστε
λϛ' καὶ κατακλίνεσθαι ὑπὸ τῆς ἡδονῆς. Τὰς

δ' ἐν

δ' ἐν Κρήτῃ αἶγας τὰς ἀγρίας, ὅτ' ἂν τοξευθῶσι, ζητεῖν τὴν δίκταμον. δοκεῖ γὰρ ἐκβλητικὸν εἶναι τῶν βελῶν. Τὴν δὲ πάρδαλιν λζ
φασί τινας κατανενοηκέναι ὅτι τὰ ζῷα τῇ ὀσμῇ αὐτῆς χαίρει ἀποκρύπτειν ἑαυτὴν, καὶ οὕτως θηρεύειν τὰ προσπορευόμενα ἐγγύς.

Τὸν δὲ ἰχνεύμονα ὅτ' ἂν ἴδῃ ὄφιν τὴν ἀσπίδα, οὐ λη
πρότερον ἐπιτίθεσθαι, πρὶν καλέσαι βοηθοὺς ἄλλους· πρὸς δὲ τὰ δήγματα καὶ τὰς πληγὰς πηλῷ καταπλάττειν ἑαυτόν. βρέξαντας γὰρ τὸ σῶμα, κυλίεσθαι ἐν τῷ κονιορτῷ. Τῶν δὲ λθ
κροκοδείλων λέγει τοὺς τροχίλους ἐκκαθαίρειν τοὺς ὀδόντας, καὶ ἀπὸ τούτων τρέφεσθαι· τὸν δὲ ὠφελούμενον, αἰσθάνεσθαι, καὶ ὅταν ἐξελθεῖν βούλεται ὁ τροχίλος, τὸν αὐχένα κινεῖν, ἵνα μὴ συνδηχθῇ. Τὴν δὲ χελώνην μ
ὅτ' ἂν ὄφεως φάγῃ, ἐπεσθίειν ὀρίγανον, καὶ ποτέ τινος παρατηρήσαντος, καὶ ἐκτίλαντος τὴν ὀρίγανον οὐκ ἔχουσαν ἐπιφαγεῖν τελευτῆσαι. Τὴν δὲ γαλῆν ὅταν μάχηται μετὰ μα
τοῦ ὄφεως, τοῦ πηγάνου προεσθίειν. πολέμιοις γὰρ εἶναι τοῖς ὄφεσι τὴν ὀσμήν· καὶ πρὸς τὰς πληγὰς δὲ τοῦ ὄφεως, βοηθεῖν τὸ πήγανον ἐν ἀκράτῳ διηθηθὲν καὶ ποθέν· ὁ γὰρ ὗς ὅτ' ἂν ὑπὸ τοῦ ὄφεως δηχθῇ, φέρεται εὐθέως ἐπὶ τοὺς ποταμούς, καὶ ζητεῖ τὸν

καρ-

καρκίνον· ἔστι δὲ καὶ τοῦτο τῶν καταγεγραμ-
μένων καὶ βοηθεῖ πρὸς τὰς πληγὰς τοῦ ὄφεως
μβ' ἰσχυρῶς. Ἡ φάττα δὲ ὅταν πληγῇ, τὴν
ὀρίγανον ἔσαξεν εἰς τὸ ἕλκος, καὶ γίνεται τοῦ-
μγ' τον τὸν τρόπον ὑγιής. Ὁ δ' οὖν Ἀριστοτέ-
λης τὴν χελιδόνα φησὶν ἐν τῇ σκηνοποιΐᾳ συγ-
καταπλέκειν τοῖς κάρφεσι τὸν πηλὸν, κἂν
ἐλλίπῃ πηλὸς, βρεχομένην αὐτὴν κυλίεσθαι, καὶ
ταῖς πτέρυξιν ἀναλαμβάνειν, στιβάδα ποιεῖσθαί
τε καθάπερ ἄνθρωπον κάτωθεν ὑποτιθεῖ-
σαν τὰ σκληρά· τοῖς τε νεοττοῖς τὴν τροφὴν δι-
δόναι κατὰ μέρος παρατηροῦσαν, ἵνα μὴ δὶς τοῖς
αὐτοῖς δῷ. τὴν δὲ κόπρον, μικρῶν μὲν ὄντων,
αὐτὴν ἐκβάλλειν· αὐξηθέντων δὲ διδάσκειν ἔξω
μδ' στραφέντα τὰ νεόττια, ἀφοδεύειν. Τὰς δὲ
περιστερὰς οὐ θέλειν πλείοσιν συνδυάζεσθαι,
οὐδὲ προλείπειν τὴν συνουσίαν, ἐὰν μὴ χῆρος ἢ
χήρα γένηται· τοῖς δὲ νεοττοῖς τῆς ἁλμυριζούσης
γῆς διαμασησαμένας, ἐμπτύειν εἰς τὸ στόμα,
με' προπαρασκευαζούσας τροφήν. Τοὺς δὲ
πέρδικας ὅταν θηρεύῃ τις σὺν νεοττοὺς, προκυ-
λίεσθαι τοῦ θηρεύοντος, ὡς ἐπιλήπτους ὄντας,
καὶ ἐπισπᾶσθαι, ἕως ἂν διαδρᾷ τὰ νεόττια,
διὰ δὲ τὸ εἶναι ἀφροδισιαστικοὺς, λυμαίνεσθαι
τὰ ᾠά· ἵνα δὲ μὴ ἐπωάζῃ ἡ θήλεια, τὴν δὲ ἀντι-
μηχανᾶσθαι, καὶ διαδρᾶσαν, τίκτειν. σὺν δὲ χη-
ρους

ρους μάχεσθαι πρὸς αὐτόν· τὸν δὲ ἡττηθέντα
ἀκολουθεῖν, ὀχευόμενον ὑπὸ μόνου τούτου. Τὰς μς'
δὲ γεράνους ὑψοῦ πέτεσθαι, ἵνα καθορῶσιν
μακράν. κἂν ἴδωσι νέφη καὶ συστροφὴν ἡσυχά-
ζειν· ἔχειν δὲ καὶ ἡγεμόνα· τὰς μὲν οὖν ἄλλας
καθεύδειν, ὑπὸ τὴν πτέρυγα τὰς κεφαλὰς
θείσας· τὸν δὲ ἡγεμόνα γυμνὴν ἔχειν προορώμε-
νον· κἂν αἴσθηται, σημαίνειν ταῖς ἄλλαις βοῶν-
τα. Τοὺς δὲ πελεκᾶνας τὰς θηλείας κόγχας μζ'
καταπίνειν ἱστορεῖ· ἔπειτα ὀλίγας κατασχόντας
ἐν τῷ ἄνω τῆς κοιλίας, ἐξεμεῖν κεχηνυίας· εἶτα,
οὕτω τὰ κρέα ἐξαιροῦντας ἐσθίειν. Γυπὸς δὲ μη'
λέγεται ὑπό τινων, ὅτι οὐδεὶς ἑώρακε νεοττόν,
οὐδὲ νεοττείαν. Διὸ καὶ Ἡρόδωρον τὸν Βρύσωνος
τοῦ σοφιστοῦ πατέρα, ἀπό τινος αὐτοὺς ἑτέρας
φάναι γῆς εἶναι μετεώρου· τίκτειν δ' οὖν ἔνια
πρὸς ἀβάτοις πέτραις. Λέγειν δέ τινας καὶ μθ'
τὸ κινναμώμον ὄρνεον εἶναι, καὶ τὰ ἀρώματα
φέρειν, καὶ τὰς νεοττείας ἐκ τούτου ποιεῖσθαι. νεοτ-
τεύειν δ' ἐφ' ὑψηλῶν δένδρων καὶ ἀβάτων· τοὺς
δὲ ἐγχωρίους μολιβδοῦν τοῖς ὀϊστοῖς προστιθέντας
τοξεύειν, καὶ καταῤῥηγνύειν τὰς νεοττείας. Τὸν ν'
δὲ κόκκυγα δοκεῖν ὑποβολιμαίους τοὺς νεοτ-
τοὺς ποιεῖν, διὰ τὸ δειλὸν εἶναι, καὶ μὴ δύ-
νασθαι ἀμύνειν· τίλλεσθαι γὰρ ὑπὸ τῶν ἐ-
λαχίστων· τὰ δὲ ὑποδεξάμενα τῶν ὀρνέων,

ἐκβάλλειν τοὺς ἑαυτῶν νεοττοὺς, διὰ τὸ καλὸν
να' εἶναι τὸν τοῦ κόκκυγος. Τὸν δὲ αἴγιθον αἶ-
γα θηλάζειν προσπετόμενον· ὅθεν καὶ τὴν
προσηγορίαν εἰληφέναι τὸν δὲ μαστὸν ὅθεν ἂν
ἑλκύσῃ, ἀποτυφλοῦσθαι. ἔστι δὲ χωλὸν τὸ ὄρ-
νεον· ὅθεν καὶ Καλλίμαχος ὁ ἐκ τῆς Αἰγύπτου,
παρέτρεχεν εἶναι βουλόμενος ἔφησεν προφή-
πας ὑπὲρ ἄλλου τινὸς ὀρνέου, αἴγιθος ἀμφι-
γυήεις. Οὐ σώζεται οὖν αὐτῷ ὁ λόγος· ἔστι
γὰρ οὐκ ἀμφότερα χωλὸν· τὸ δ' ἀμφιγυήεις
οὐ τοιοῦτον, ἀλλ' ὡς ἐπὶ τοῦ ἡφαίστου εἴρη-
ται, ὅτ' ἂν ἑκατέρους ᾖ κεχωλωμένος· περὶ
μὲν οὖν τοῦ Καλλιμάχου διὰ τὸ ἀπίθα-
νβ' νον παρήχθημεν εἰπεῖν. Ὁ δὲ Ἀριστο-
τέλης φησὶν, τῷ ἀετῷ γηράσκοντι, τὸ ῥύγχος
αὐξάνεσθαι καὶ γαμψοῦσθαι, καὶ τέλος ἀ-
ποθνήσκειν λιμῷ· τὴν φήνην δὲ τοὺς ἐκβληθέν-
τας τῶν νεοττῶν ὑπὸ τοῦ ἀετοῦ λαμβάνειν καὶ
ἐκτρέφειν· τὸν δὲ ἀετὸν ἐπαναγκάζειν τὰ τέ-
κνα ἔτι ψιλὰ ὄντα, πρὸς τὸν ἥλιον βλέπειν·
τὸ δὲ δακρῦον αὐτῶν, καὶ μὴ θέλον ἀντοφθαλ-
μεῖν, ἀποκτείνειν· τῶν ἰχθύων δὲ, τὸν ἁλιέα
καλούμενον βάτραχον, θηρεύειν τὰ ἰχθύ-
δια τοῖς ἀπὸ τῶν ὀφθαλμῶν ἀπηωρημένοις,
ὧν τὸ μὲν μῆκος ἐστὶ τριχοειδὲς, ἐπ' ἄ-
κρου δὲ προσκείμενον ὥσπερ δέλεαρ στρογ-

γύλον·

χύλους· τοῦτ' οὖν κρύψαντα ἑαυτοὺς προ-
τείνειν. Τὴν δὲ νάρκην καθαλμίσασαν ἑαυ- νγ
τήν, τὰ μὴ δυνάμενα τῶν ἰχθύων ὅτ' ἂν σύνεγ-
γυς ᾖ, κολυμβᾶν, διὰ τῆς ναρκήσιώς τε συλλαμ-
βάνειν. Τὰς δὲ καλουμένας ἀλώπεκας, ὅτ' νδ
ἂν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκα-
σιν, ἀναδραμούσας ἄνωθεν τῆς ὁρμίας, ἀπο-
τρώγειν. Τὸν δὲ πωλύποδα κατατίθεσθαι νε
τροφὴν εἰς τὰς θαλάμας· καὶ ὅτ' ἂν τὰ χρήσιμα
ἀναλώσῃ, τὰ ἀχρεῖα ἐκβάλλειν· καὶ τὰ συνερχό-
μενα τῶν ἰχθυδίων πρὸς τὰ ἐκβεβλημένα θηρεύειν·
ποιεῖται δὲ τὸ χρῶμα παραπλήσιον οἷς ἂν ἐγ-
γὺς ᾖ λίθοις· ὃ ὅταν φοβηθῇ δὲ τοῦτο ποιεῖν
αὐτόν. Ἴδε καὶ τὸν ναυτίλον πολύποδα νϛ
οἷς ποιεῖ περιττόν· ἔχει μὲν γὰρ ὄστρακον, ὃ κα-
ταστρέψας ἀναφέρεται ἵνα ῥᾴδιος ἀνενεχθῇ
κενός· ἄνωθεν δὲ γενόμενος, μεταστρέ-
φειν· ἔχειν δὲ μεταξὺ τῶν πλεκτανῶν
ἐπί τι συνεχές, οἷον ὑμένα· καὶ τούτῳ
ὅτ' ἂν πνευμάτιος ᾖ, ὥσπερ ἱστίῳ χρῆσθαι·
ἀντὶ πηδαλίων δὲ παρακαθιέναι τῶν πλε-
κτανῶν. Τὰς δὲ μελίττας θυμωμέ- νζ
νας ὑπὸ τοῦ καπνοῦ, καὶ κακοπαθού-
σας, τότε μάλιστα μὲν ἐσθίειν· τὸν δὲ λοι-
πὸν χρόνον φείδεσθαι, ὡς τροφῆς χάριν ἀποτι-
θεμένας· τοῖς ἀπὸ τῶν δένδρων δὲ δακρύοις

δεῖ χρίειν τὸ σμῆνος, τῶν ἄλλων ἕνεκεν θηρίων· ἃς δ' ἂν ἀποκτείνωσιν αἱ χρησταὶ μέλιτται, πειρᾶσθαι μὲν αὐτὰς ἔξω τούτου ποιεῖν· ἐὰν δὲ ἔσω τοῦ σμήνους ἀποκτείνωσιν, ἐκφέρειν· τοὺς δὲ φῶρας καλουμένους, κακουργεῖν ἐὰν λάθωσιν προσελθόντες· εἰσέρχονται δὲ σπανίως. τηρεῖσθαι δ' αὐτοὺς, καὶ ἐπὶ πασῶν φύλακας εἶναι· εἶναι δὲ αὐτὰς τεταγμένας ἐφ' ἑκάστῳ τῶν ἔργων· καὶ τὰς μὲν ἀνθοφορεῖν, τὰς δὲ κατορθοῦν τὰ κηρία· δυσχεραίνειν δ' αὐτὰς καὶ τῇ δυσωδίᾳ τῆς τροφῆς, καὶ τῷ μύρῳ, καὶ τὸ περίττωμα δὲ ἔξω ἀφιέναι· καὶ τὰς μὲν πρεσβυτέρας ἔσω ἐργάζεσθαι· σφῆκα δ' ἂν λάβῃ τις τῶν σκελῶν, καὶ τοῖς προτέροις
* ἀρόμβαι προπέτεσθαί φησιν τοὺς ἀκέντρους· τῶν
νη' δ' ἐχόντων τὸ κέντρον, οὐδένα. Τὸν δὲ μόνωτον γίνεσθαι μέν φασιν ἐν Παιονίᾳ ἐν τῷ ὄρει Μαρσάνῳ· ὀδόντας δὲ τοὺς ἄνωθεν οὐκ ἔχειν, ὥσπερ βοῦν, οὐδ' ἄλλο τῶν δικεράτων οὐδέν· καὶ τἆλλα προσεμφερὲς εἶναι τῷ ταύρῳ· διωκόμενον δὲ προσαφοδεύειν πόῤῥωθεν. καὶ τὴν κόπρον ὅταν πεφοβημένος τοῦτο ποιήσῃ ἐπικαίειν οὕτως, ὥστε τὰς τρίχας ἀποῤῥεῖν τῶν κτηνῶν· ἂν δ' ἄνευ φόβου τοῦτο ποιήσῃ, οὐδὲν πάσχειν, οὐδὲ βλάπτεσθαι· ὃ δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιή-
νθ' σῃ, τούτου πάλιν οὐχ ἅπτεσθαι. Τῷ δὲ Σκυθῶν βασιλεῖ ἵππον φασὶ γενναῖον γενέσθαι· ταύ-

τη τὸν ἐξ αὐτῆς γεννηθέντα πῶλον προσάγειν ἵνα ὀχεύσῃ· τὸν δ' οὐ θέλειν· ὡς δὲ περικαλύψαντες προσήγαγον τῇ ἵππῳ ἀναβῆναι· ἀποκαλυφθείσης δὲ ἰδόντα τὸ πρόσωπον, φυγεῖν, καὶ καταπρημνίσαι ἑαυτόν. Τῶν θαλαττίων ξ'
δὲ ζώων ἡμερώτατον εἶναι δελφῖνα· καὶ γὰρ πρὸς παῖδας ἐρωτικῶς ἔχειν, οἷον περὶ Τάραντα καὶ Καρίαν καὶ ἄλλους τόπους πολλούς· ἐν δὲ Καρίᾳ δεθέντος δελφῖνος καὶ τραύματα λαβόντος πολλά, παραγενέσθαι πολλοὺς ἐπὶ βοήθειαν εἰς τὸν λιμένα ἕως ἀφῆκεν ὁ ἁλιεύς.
Περὶ δὲ τοῦ τόκου τῶν λύκων, μυθικόν τι τελέως ξα'
διεξέρχεται, καὶ ὅμοιός ἐστι καὶ τῷ ζωειδεῖ τι· φησὶν γὰρ αὐτοὺς ἅπαντας ἐν δώδεκα δύο τοῦ ἐνιαυτοῦ τίκτειν· εἶναι δὲ τούτου αἴτιον, ὡς ὁ λόγος, ὅτι ἐν ιβ' ἡμέραις τὴν Λητὼ παρεκόμισαν ἐξ ὑπερβορέων εἰς Δῆλον, λύκαιναν φαινομένην. Τὴν ξβ'
δὲ γλαῦκα καὶ τὴν κορώνην πολεμίους εἶναι· τὴν μὲν κορώνην τῆς γλαυκὸς μεθ' ἡμέραν, διὰ τὸ μὴ βλέπειν τὴν γλαῦκα· τὴν δὲ γλαῦκα τῆς κορώνης νύκτωρ, διὰ τὸ τὴν κορώνην μὴ ὁρᾶν τότε· διὸ καὶ κρατεῖν αὐτῶν, τὴν μὲν νύκτωρ, τὴν δὲ μεθ' ἡμέραν. Καὶ τὸν ὄνον καὶ τὸν αἴγιθον ξγ'
πολεμεῖν ἑαυτοῖς· περιιόντα γὰρ λύεσθαι εἰς τὰς ἀκάνθας, διατρίβειν τοῦτο· καὶ ὅταν ὀγκήσηται, ἐκβάλλειν τὰ ὠὰ τῆς αἰγίθου, καὶ τοὺς νεοττοὺς

φοβουμένους, ἐκπίπτειν· τὸν δὲ διὰ τὴν βλά-
βην ταύτην, κολάπτειν τὰ ἕλκη αὐτοῦ ἐπι-
ξδʹ πετόμενον. Καὶ τὸν ἀσκάλωνα δὲ πολέμιον
εἶναι τῇ ἀλώπεκι· τὸν δὲ κόρακα καὶ τὴν ἀ-
λώπεκα, φίλους· πολεμεῖν δὲ καὶ τὸν κό-
ρακα τῷ ἀσκάλωνι· διὸ καὶ τυπτομένῃ τῇ ἀλώ-
ξεʹ πεκι βοηθεῖν. Τοὺς αἰπόλους δέ φασι λέ-
γειν, ὅτι ὅταν τάχιστα ὁ ἥλιος τραπῇ, ἀν-
τιβλέπουσαι αὐτὸν αἱ αἶγες κατάκεινται.
ξςʹ Τούτῳ τι παραπλήσιον Λύκος ἱστορεῖ· φησὶ
γὰρ ἐν Λιβύῃ τὰ κτήνη τὸν μὲν ἄλλον χρόνον,
τὰ μὲν αὐτοῖς ἐναντία, τὰ δ᾽ ὡς ἔτυχεν
κοιμᾶσθαι· τῇ δὲ νυκτὶ καθ᾽ ἣν τοῦ κυνὸς ἀ-
νατολὴ γίνεται, πρὸς αὐτὸ τὸ ἄστρον ἐστραμ-
μένα· καὶ τούτῳ τεκμηρίῳ τῆς ἐπιτολῆς τοὺς
ἐκεῖ χρῆσθαι. Πλὴν ὅγε Ἀριστοτέλης χωρὶς
τῆς περὶ τοὺς βίους τῶν ζώων ἐντρεχείας,
καὶ τοιαῦτά τινα διεξέρχεται· πάνυ πολλὴν
ἐπιμέλειαν πεποιημένος ἐν τοῖς πλείστοις αὐ-
τῶν, καὶ οἷον ἔργῳ οὐ παρέργῳ χρώμενος
τῇ περὶ τούτων ἐξηγήσει· τὰ γοῦν πάν-
τα σχεδὸν ἑβδομήκοντα περὶ αὐτῶν κατα-
βέβληται βιβλία· καὶ πεπείραται ἐξηγη-
τικώτερον, ἢ ἱστορικώτερον ἐν ἑκάστοις ἀνα-
στρέφεσθαι, πρὸς τὴν ἡμετέραν ἐκλογὴν
ἐπιποίειν προῃρημένοις αὐτῷ τῶν ξένων τὸ
πρά-

παράδοξον ἔκ τε τούτων, καὶ τῶν ἄλλων
ὑπερδραμεῖν. Λέγει δ' οὖν τὰ χερ- ξζ
σαῖα πάντα ἀναπνεῖν, ὅσα πνεύμονα ἔχειν·
σφῆκας δὲ καὶ μελίσσας οὐκ ἀναπνεῖν. Ὅσα ξη
τε κύστιν ἔχει, ταῦτα καὶ κοιλίαν· ὅσα τε
κοιλίαν, ταῦτα καὶ κύστιν. Ἄναιμα δὲ ξθ
εἶναι πολλὰ μὲν τῶν ζώων· καθόλου δὲ
ὅσα πλείω πόδας ἔχει τεττάρων. Ὅσα ο
δὲ τρίχας ἔχει, πάντα ζωοτοκεῖν, οὐκ ἀν-
τιστρέφει δέ. Πάντα τὰ ζῶα κινεῖν τὴν οα
κάτω σιαγόνα, πλὴν τοῦ ποταμίου κροκο-
δείλου· τοῦτον δὲ μόνον, τὴν ἄνω. Ἐν οβ
Ἰλλυριοῖς εἶναι καὶ Παιονίᾳ μωνύχους. Μού-
νυχον δὲ καὶ δίκερω οὐδὲν ἑορᾶσθαι· μονοκέρω-
τά τε καὶ μωνυχαῖον τὸν Ἰνδικὸν ὄνον· τοῦ-
τον δὲ καὶ ἀστράγαλον τῶν μωνύχων ἔχειν
ζώων. Τῆς δὲ γαλῆς ὀστοῦν εἶναι τὸ αἰ- ογ
δοῖον. Τὸ δ' ἄρρεν τοῦ θήλεος πλείους ἔχειν οδ
ὀδόντας, καὶ ἐν ἀνθρώποις, καὶ τοῖς ἄλλοις
ζώοις· Τὴν δὲ τῶν ἵππων καρδίαν, ὀστοῦν, οε
καὶ βοῶν δὲ τινῶν. Τῶν δὲ ἐλάφων τοὺς ος
ἀχαΐνους καλουμένους, δοκεῖν ἐν τῇ κέρκῳ
τὴν χολὴν ἔχειν. Τοὺς δὲ ἰχθῦς οὐκ ἔχειν στό- οζ
μαχον. διὸ καὶ τῶν μεγάλων ἔτερον ὅταν διώ-
κωσιν ἐλάττονα, προσπίπτειν τὴν κοιλίαν εἰς
τὸ στόμα. Τοὺς δὲ ὄφεις πλευρὰς ἔχειν λ'. οη

καὶ ὄμματα δὲ αὐτῶν ἐάν τις ἐκκεντήσῃ, καθά-
οθ' περ τὰ τῶν χελιδόνων, πάλιν γίνεσθαι. Τῶν
π' δ' ἰχθύων τὸν κλῆρο μόνον μὴ ῥυγχάζειν. Τοῦ
δὲ λέοντος οὕτως εἶναι τὰ ὀστᾶ στερεά, ὥστε πολ-
πα' λάκις κοπτομένων πῦρ ἐκλάμπειν. Ἐν Φρυ-
πβ' γίᾳ δὲ βοῦς εἶναι, οἳ κινοῦσι τὰ κέρατα. Τρί-
χας δὲ ἔχειν τῶν ζώων, ὅσα πεζὰ καὶ ατο καὶ
πγ' ζωοτόκα· φολίδας δὲ ὅσα πεζὰ καὶ ζωοτόκα. Ἤδη
δέ τισιν κάμνουσιν πολιὰς γίγνεσθαι· ὑγιασ-
πδ' θεῖσι δὲ πάλιν μελαίνας. Τὸν δὲ ἐν τῇ Χαλκι-
δικῇ ποταμὸν τὸν ἐπὶ Θρᾴκης, τὸν καλούμενον
κοχρύνναν πίοντα τὰ πρόβατα, ἔχειν τὰ γεν-
νώμενα μέλανα ποιεῖ· καὶ ἐν τῇ Ἀντανδρίᾳ δύο
ποταμοὺς εἶναι, ὧν τὸν μὲν λευκά, τὸν δὲ μέ-
λανα γεννᾶν· δοκεῖν δὲ καὶ τὸν Σκάμανδρον ξαν-
θὰ ποιεῖν· διὸ καὶ τὸν ποιητὴν ἀντὶ Σκαμάν-
δρου Ξάνθον αὐτὸν προσαγορεύειν· καὶ ἐν τῇ
Εὐβοίᾳ δὲ κατὰ τὴν Ἰταλικὴν τὴν συνορίζου-
σαν τῇ Χαλκίδι δύο ποταμοί, Κέρων καὶ Νη-
λεύς· ὧν αἱ γυναῖκες ἐὰν περὶ τὸ συλλαμβά-
νειν οὕτω πίωσιν, ἐὰν μὲν ἀπὸ ποταμοῦ Κέρω-
νος, μέλανα τίκτουσιν· ἐὰν δὲ ἀπὸ τοῦ Νηλέως,
πε' λευκά. Τοὺς δὲ μύρμηκας φησὶν ὑπὸ ὀρι-
γάνου καὶ θείου περιπαττομένους, ἐκλείπειν τὰς
πς' μυρμηκιάς. Τὴν δ' ἔγχελυν, οὔτ' ἄρρεν εἶναι,
πζ' οὔτε θῆλυ. Τοὺς δὲ πέρδικας ἐὰν κατ' ἄνε-

μον

μένον ζῶσιν αἱ θήλειαι τῶν ἀρρένων, ἐγκύους γί-
νεσθαι. Τὸν δὲ καλούμενον ἀστέρα, οὕτω διά- πη
θερμον εἶναι, ὥσθ' ὅντινα ἂν λάβῃ τῶν ἰχθύων
παραχρῆμα διεφθὸν ποιεῖν. Ἔχειν δὲ καὶ σπογ- πθ
γίον αἴσθησιν· ἂν γὰρ μέλλοντος ἀποσπᾶν προ-
αίσθηται, συσπᾶσθαι καὶ ἔργον εἶναι ἀφε-
λεῖν· ταὐτὸ δ' ἂν ἄνεμος ἢ κλύδων ᾖ, γίνεσθαι.
Εἶναι δὲ καὶ ἐν χιόνι ζῷα σκωληκοειδῆ δασέα. ϟ
Ἐν Κύπρῳ γοῦν χαλκίτις λίθος καίεται, καὶ
γίνεται θηρίον μικρῷ μεῖζον μυῶν· τὸ αὐτὸ δὲ,
καὶ ἐν τοῖς Καρυστίων θηρίοις· ἀποθνήσκειν δὲ τὰ
μὲν τῆς χιόνος, τὰ δὲ τοῦ πυρὸς χωριζόμενα.
Τὴν δὲ σαλαμάνδραν σβεννύειν τὸ πῦρ. Περὶ ϟα. ϟβ
δὲ τὸν Ὕπανιν ποταμὸν, τὸν περὶ Βόσπορον
τὸν κιμμέριον, περὶ τροπὰς χειμερινὰς, κατα-
φέρεσθαί φασιν οἷον θυλάκους μείζους ῥαγῶν·
ἐξ ὧν πηγνυμένων, ἐξέρχεσθαι ζῶον πτερωτὸν
τετράπουν· ζῆν δὲ μίαν ἡμέραν· ἴδιον δὲ καὶ τὸ
πτερωτὸν τετράπουν εἶναι. Τὰ δὲ σμήνη ἀπόλ- ϟγ
λυσθαι, ἐάν τε ἡγεμὼν ὦσιν, ἐάν τε τοὐναν- *
τίον πολλοί. Τοὺς δὲ σκορπίους τοὺς χερσαίους ϟδ
ὑπὸ τῶν τέκνων ἀποθνήσκειν· καὶ φαλάγγια
δὲ κτείνειν τὴν τεκοῦσαν· πολλάκις δὲ καὶ τὸν
ἄρρενα, συνεπωάζειν γάρ. Ἐν δὲ τῷ σώματι ϟε
τῶν ἀνθρώπων γίνεσθαι οἷον ἴονθους μικρούς·
τούτους δὲ ἐάν τις κεντήσῃ, ἐξέρχεσθαι φθεῖρας· καὶ

ἐάν τις ἐάσῃ, εἰς νόσημας τοῦτο ἐμπίπτει· ὥσπερ Ἀλμαίωνι τῷ φυσικῷ, καὶ Φερεκύδει τῷ Συρίῳ.

ϛϛʹ Ἴδιον δὲ καὶ τοῦτο νεκρῶν τινων, τοῦ μυελοῦ σαπέντος ἐκ τῆς ῥάχεως ὀφίδια γίνεσθαι, ἐὰν πρὸ τοῦ τελευτᾶν ὄφεως τεθνηκότος ἑλκύσωσι τὴν ὀσμήν· καί τινι καὶ ἐπιγραμματίῳ περιπεπτώκαμεν Ἀρχελάου, οὗ καὶ πρότερον ἐμνήσθημεν, ὃς περὶ τῶν θαυμασίων καὶ τοῦτο καταγράφει, καί φησιν·

Πάντα δι' ἀλλήλων ὁ πολὺς σφαργίζεται αἰών,
Ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως,
Δεινὸς γίνετ' ὄφις, νέκυος δ' ἐλοῖο σαπέντος,
Ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τέραος
Τεθνεότος, ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ' ἐστίν,
Οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ Κέκροπα.

Τοῦτο μὲν οὖν ἐν ἀκοῇ τε καὶ φερομένῃ τινὶ καὶ πρόσεργος τὸ τοῦ ἐπιγράμματος· ποιεῖ μαρτυρίᾳ κεῖσθαι.

ϛζʹ Ὁ δὲ Ἀριστοτέλης ἐν κηρῷ φησὶ γίνεσθαι ζῷον, ὃ δὴ δοκεῖ ἐλάχιστον εἶναι, καὶ καλεῖσθαι ἀκάρητον Διὸς ταμίον.

ϛηʹ Τὸν δὲ κροκόδειλον ἐξ ἐλαχίστου γίνεσθαι μέγιστον· τὸ μὲν γὰρ ᾠὸν μεῖζον γίνεσθαι χηνίου· αὐτοὺς δὲ γίνεσθαι καὶ ἑπτὰ καὶ δεκάπηχυν.

ϛθʹ Τῶν δὲ καράβων τοὺς πουλύποδας κρατεῖν· οὐθὲν γὰρ

γὰρ ἀπὸ τῶν ὀστράκων πάσχειν· τῶν δὲ πολυ-
πόδων τοὺς γόγγρους· οὐδὲν γὰρ αὐτοῖς διὰ τὴν
λειότητα δύνασθαι τὸν πολύποδα χρῆσθαι· τοῦ
δὲ γόγγρου κάραβον· οὐ γὰρ ἐξολισθαίνειν αὐτὸν,
ἀλλὰ κατατέμνεσθαι διὰ τὴν τῶν ὀστράκων τρα-
χύτητα. Τὸν δὲ κεστρέα φησὶν, ὅτ᾽ ἂν φο- ρ'
βηθῇ, τὴν κεφαλὴν κρύπτειν ὡς ὅλον τὸ σῶμα
κρύπτοντα. Τὰ γαμψὰ πάντ᾽ εἶναι μιμη- ρα'
τικά. Ὑπό τινος λυπτώσης λυπτᾶν πάντα ρβ'
τὰ δηχθέντα, πλὴν ἀνθρώπου. Τῶν ζῴων τὰ ργ'
μακρὰ ἄρσενα εἶναι· τὰ δεύτερα θήλεα. Καὶ ρδ'
ἐν Αἰγύπτῳ κατορύττοντας εἰς κόπρον, νεοττοὺς
ποιεῖν. Ἐν Συρακούσαις δὲ φιλοπότην τινὰ εἰς ρε'
τὴν γῆν κατορύξαι· καὶ ἐπιθεῖναι τὴν ψίαθον,
ἕως τούτου πίνειν συνεχῶς. ἕως ἐκλυφῶσι τὰ ᾠά·
ἤδη δὲ κείμενα ἐν ἀγγείοις λαγύνοις, ἐκτεφθῆ-
ναι καὶ προσελθεῖν. Τῶν δὲ χελιδόνων τοὺς νεοττοὺς ρς'
ἐάν τις ἐκτυφλώσῃ, πάλιν βλέπειν. Τὸν δὲ ρζ'
ἱέρακα τρία μὲν τίκτειν· αὐξανομένων δὲ τῶν νεοτ-
τῶν, ἐκλέγειν τὸ ἕνα· οὐ γὰρ δύνασθαι τρέφειν,
διὰ τὸ τὸν χρόνον τοῦτον τοὺς ὄνυχας αὐτοῦ
διαστρέφεσθαι, καὶ μηδὲν ἁρπάζειν· τὸν δὲ
πλανηθέντα τὴν φωνὴν ἀποβάλλεσθαι. Καὶ ρη'
τὸ ὅλον ἐπιεικῶς τοὺς γαμψώνυχας, ὅτ᾽ ἂν θᾶτ-
τον οἱ νεοττοὶ δύνωνται πέτεσθαι ἐκβάλλειν, πλὴν τῆς
κορώνης· ταύτην δὲ καὶ πετομένους ἐπί τινα

χρόνον

ρθ' χρόνον ψωμίζειν. Κόκκυγος δὲ νεοττοὺς οὐδέ-
να ἑορακέναι. τίκτειν γὰρ αὐτὸν οὐκ ἐν τῇ ἰδίᾳ
νεοττείᾳ, ἀλλ' εἰς τὰς τῶν ὀρνιθίων, ἢ εἰς τὰς τῶν
φαβῶν, ἢ * ὑποδυσιδέων ἐκκοπτόμενον, ὅτ'
ρι ἂν καταφύγῃ πρὸς ὑπάρχοντα ᾠά. Τοὺς
δὲ πέρδικας ποιεῖσθαι σικοὺς τῶν ᾠῶν, καὶ ἐ-
πωάζειν καὶ τρέφειν ἑκατέρους· καὶ τοὺς νεοττοὺς
ὅταν πρῶτον ἐξαγάγωσιν ὀχεύειν αὐτούς, τοὺς δὲ
πρὸς ἀλλήλους μάχεσθαι, θωρακιζομένους τῷ
ἰδίῳ δέρματι· ποιεῖν δὲ τραχὺ, ἐκ τῆς ἀσκύνης
τρίβοντας πρὸς δένδρα, καὶ τῷ πηλῷ μο-
λύνοντας καὶ ξηραίνοντας· φάναι δέ τινας κατα-
γράφειν, ὡς αὐτὸς οὐ πεπειραμένος. ὅτι αἴ τις
τὸν ἕτερον ὀφθαλμὸν ἐκκόπτειν, ἀποθνήσκει τα-
ρια' χέως. Αἶγας δὲ καὶ πρόβατα βορείοις μὲν ὀ-
χευόμενα, ἀρσενοτοκεῖν ὡς τὸ πολύ· νοτίοις δὲ
θηλυτοκεῖν· λευκὰ δὲ τὰ γεννώμενα γίνεσθαι,
ἐὰν ὑπὸ τῇ γλώττῃ τοῦ κριοῦ λευκαὶ φλέβες
ὦσιν· μέλανα δὲ, ἐὰν μέλαιναι· ὡσαύτως δὲ
καὶ ὠθεῖ τῶν πυρρῶν πρότερον ἢ ὀχεῖσθαι, τὸ
ριβ' ἁλυκὸν ὕδωρ πίνοντα. Τοὺς δὲ Λακωνικοὺς
ριγ' κύνας πονήσαντας, μᾶλλον ὀχεύειν. Θαυ-
μασιωτάτην δ' εἶναι τῷ τάχει τὴν τῶν μυῶν γέ-
νεσιν· ἤδη γάρ ποτε τῆς θηλείας κυούσης, καὶ
ἐν ἀποληφθείσης ἐν ἀγγείῳ, φανῆναι μετ' οὐ
πολὺν χρόνον, μῦς εἴκοσι καὶ ἑκατόν· τῆς δὲ

Περσικῆς ἔν τισιν ἀνασχιζομένων τῶν θηλειῶν
τῶν μυῶν, τὰ ἔμβρυα ἤδη κύοντα εὑρίσκεσθαι.
Ἀπείθου δὲ λέγεται καὶ ἀκανθίδος, αἷμα μό- ριδ
λις μίγνυσθαι. Τῶν δὲ αἰγῶν ὅταν μία τις ριε
λάβῃ τὸ ἄκρον τοῦ ὀρυτίου, ὅ ἐστιν δ' οἷον θρὶξ, τὰς
ἄλλας ἑστάναι οἷον μεμωρωμένας, ἐμβλεπούσας
εἰς ἐκείνην. Τὸ δὲ τῆς ἰκτίδος αἰδοῖον εἶναι ρις
μὲν ὀστοῦν· δοκεῖ δὲ εἶναι φάρμακον στραγγου-
ρίας. Εὐνοῦχον δὲ φαλακρὸν, οὐδένα γίνεσθαι. ριζ
τὰς δευτερογενεῖς τρίχας τοὺς μὲν ἐκ παιδὸς ριη
διαφθαρέντας, οὐκ ἴσχειν· τοὺς δὲ ὕστερον ἀποβάλ-
λειν, πλὴν τῆς ἥβης. Γυναῖκα τίκτειν ριθ
πλεῖστα πέντε· καὶ μνημονεύεσθαι μίαν ἐν τέταρ-
σιν τόκοις, εἴκοσι τετοκυῖαν, καὶ τὰ πλεῖστα τού-
των ἐκτραφέντων· ἐὰν δὲ κύουσα δαψιλεστέρῳ
χρήσηται, οὐκ ἔχοντα ὄνυχας γίνεσθαι τὰ παι-
δία. Εἶναι δὲ καὶ ἄνδρας καὶ γυναῖκας θη- ρκ
λυγόνους καὶ ἀρρενογόνους· καὶ ὃ περὶ τοῦ Ἡρα-
κλέους ἱστόρηται· ἐν δύο γὰρ καὶ ἑβδομήκοντα
τέκνοις, μίαν αὐτὸν γεννῆσαι θυγατέρα. Γί- ρκα
νεσθαι δέ τινας καὶ ἐκ χωλῶν καὶ ἐκ τυφλῶν,
ὁμοίως τυφλοὺς καὶ χωλούς· ἤδη δέ τινας καὶ
στίγματα ἐνηνοχέναι. Ἐν Ἤλιδι δὲ ἐκ τῆς ρκβ
ὑπὸ τοῦ Αἰθίοπος μοιχευθείσης, θυγατέρα
μὲν γενέσθαι λευκήν· τὸν δὲ ἐκ ταύτης, Αἰθίο-
πα. Τὰ δὲ παιδία ἄχρι γένηται τετταράκον- ρκγ

τα ἡμε-

τὰ ἡμερῶν, ἐγρηγορότα μὲν οὐ γελᾶν, οὐδὲ
ρκδ' δακρύειν· ὑπνοῦντα δὲ ἀμφότερα. Καὶ
φυσιογνωμονεῖ δέ τινα τοιαῦτα· τοῖς γὰρ μέτω-
πον μέγα ἔχουσιν, βραδυτέροις γίνεσθαι· μικρὸν
δὲ εὐκινήτοις, ὡς αὐτοῖ τὸ πολὺ προστιθεὶς ἐν
ρκε' ἑκάστοις, οἷς πλατὺ ἐκπατικοῖς· Ὀφρῦς
εὐθείας μαλακοῦ ἤθους, πρὸς τὴν ῥῖνα κε-
καμμένας στρυφνούς· πρὸς τοὺς κροτάφους
ρκς' μώκου καὶ εἴρωνος. Κανθοὺς κρεώδεις
πονηρίας· ὦτα μέσα βελτίστου ἤθους· τὰ δὲ
μεγάλα καὶ ἐπανεστηκότα, μωρολογίας καὶ
ρκζ' ἀδολεσχίας. Τῶν δὲ θηλέων ζῴων, τρο-
πικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν, ἵπ-
πον καὶ ἱππομανίαν ἰσχυρῶς· ὅθεν καὶ πρὸς τὴν
βλασφημίαν ἀπὸ τούτου μεταφέρεσθαι, καὶ
τὰς πρὸς τὰ ἀφροδίσια κεκινημένας, ὀνειδί-
ζεσθαι. Φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ
τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς
παρθένους ἐν ταῖς Τοξότισιν.

Ἄδων ταῖς ἁγναῖς παρθέναις γαμηλίων.
Λέκτρων * ἀστεῖ μὴ βλεμμάτων * ῥέπει βουλή· ὁ
διαλιπὼν προσέθηκεν·

—Οὔ με μὴ λάθῃ φλέγων,
Ὀφθαλμὸς ἥτις ἀνδρὸς ᾖ γεγευμένη.
Ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

Πολλῶν δὲ ὄντων ὧν καταγέγραφεν Ἀριστοτέ-
λης,

λης, ὥστε τοσοῦτον ἠδυνήθημεν ἡμεῖς ἐκ τοῦ πα-
ρόντος, τὰ μὲν ἐκλέξαι, τὰ δ' ἀναμνησθῆναι.
Φησὶν δ' ὁ ἱστοριογράφος, Ἀρσάμην τὸν περ- ρκη'.
σῶν εὐθὺς ἐκ γενετῆς ὀδόντας ἔχειν. Μυρ- ρκθ'
σίλος δὲ ὁ Λέσβιος, Λοκροὺς τοὺς ὀζόλας τῆς
ἐπιθυμίας ἐπωνυμίας τετυχηκέναι· ὅτι τῆς
χώρας τῆς αὐτῶν ὄζει, καὶ μάλιστα τοῦ Ταφίου
καλουμένου ὄρους· ὃ ῥεῖν αὐτόθεν εἰς θάλασ-
σαν ὥσπερ πύον· τετάφθαι δ' ἐν τῷ ὄρει τούτῳ
Νέσσον τὸν Κένταυρον, ὃν Ἡρακλῆς ἀπέκτεινεν.
Τὰς δὲ Λημνίας δυσόσμους γενέσθαι, Μηδείας ἀ- ρλ'
φικομένης μετ' Ἰάσονος, καὶ φάρμακα ἐμ-
βαλλούσης εἰς τὴν νῆσον, κατά δή τινα χρόνον, καὶ
μάλιστα ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς ἱστο-
ροῦσιν τὴν Μήδειαν παραγενέσθαι· δυσώδεις αὐτὰς
οὕτως γίνεσθαι, ὥστε μηδένα προσιέναι. Θεό- ρλα'
πομπος δέ φησιν ἱστοριογράφος τὸ καλούμενον
ἀκόνιτον, γίνεσθαι μὲν περὶ Ἡράκλειαν τὴν ἐν τῷ
Πόντῳ, ταῖς ὀνομαζομέναις ἀκόναις, ὅθεν καὶ τῆς
προσηγορίας τετυχηκέναι· δυναμικὸν ἐναργῶς
δ' ὄν, οὐκ ἐνεργεῖν οὐθέν, ἂν πίῃ τις πήγανον ταύ-
την τὴν ἡμέραν· ὡς Ἀγαθάρχου τοῦ Τυράννου πολ-
λοὺς ἀποκτείναντος φαρμάκῳ, καὶ πειρωμένου λαν-
θάνειν, ὡς ἐγένετο συμφανές, τοὺς πλείους Ἡρα-
κλεωτῶν οὐ πρότερον ἐξιέναι, πρὸ τοῦ φαγεῖν πή-
γανον· γράφει δὲ καὶ τὴν πρόφασιν καὶ τὴν

ἀρχήν,

ἀρχὴν, ἐξ ἧς ὤφθη σφόδρα μακρῶς· δύο καὶ
ρλβ′ πελέπομεν. Ὁ δὲ τοὺς Σαμιακοὺς ὅρους
συγγεγραφὼς, περὶ τῶν πρώτων κληθέντων
μαθητῶν τῶν περὶ Ἡρόστρατον, φησὶν χελιδό-
ρλγ′ να λευκὴν φανῆναι. Ἵππων δὲ ὁ Ῥηγῖνος πε-
ρὶ τῶν λεγομένων τόπων φθείρειν τὰ ἐμπίπτον-
τα τοιοῦτόν τι γράφει. Φησὶν ἐν Ἀθήναις ἐπὶ
βασιλέως Ἐπαινέτου, ὀλυμπιάδος ἕκτης καὶ
πεντηκοστῆς, ἐν ᾗ Ἀρυτάμας Λάκων νικᾷ στάδιον,
τῆς Σικελίας ἐν Παληκίοις οἰκονομηθῆναι τόπον·
εἰς ὃν ὅστις ἂν εἰσέλθῃ, εἰ μὴ κατακλιθείη, ἀποθνήσ-
ρλδ′ κει· εἰ δὲ περιπατοίη, οὐδὲν πάσχειν. Ἱστορεῖ
δὲ καὶ περὶ τὴν λευκὴν νῆσον μηθὲν ὑπεραίρειν
δύνασθαι τῶν ὀρνέων τῇ πτήσει τὸν τοῦ Ἀχιλλέως
ρλε′ ναόν. Καὶ πολλαχοῦ δὲ ἔοικεν, τό, τε τῶν βα-
ράθρων καλουμένων, καὶ Χαρωνίων εἶναι γένος·
οἷον ὅτε Κίμβρος καλούμενος, ὁ περὶ Φρυγίαν
βόθυνος ὡς Εὔδοξός φησιν, καὶ τὸ ἐν Λάτμῳ
ρλς′ ὄρυγμα. Καὶ τὰ τῇ σελήνῃ συναυξανόμενά
τε καὶ συμφθίνοντα· οἷον τὰ τῶν μυῶν, τὰ ἥπα-
τα· λέγεται γὰρ καὶ συμπληροῦσθαι καὶ συμ-
φθίνειν καὶ συναύξεσθαι τῶν νῦν· διὸ καὶ παρὰ
πολλοῖς ἐν παροιμίαις εἰρῆσθαι μέρει, περὶ τῶν
ρλζ′ θαυμαστῶν τεράτων, μυῶν ἥπατα. Καὶ τὰ τῶν
θαλαττίων δὲ ἐχίνων ᾠά, ταὐτὸ πάσχειν· ἴδιον
δὲ καὶ τὸ πάντας αὐτοὺς ἔχειν πέντε, καὶ ἴσους

ἀλλή-

ἀλλήλων διεστηκότα· καὶ περὶ τὴν περιφέ-
ρειαν τοῦ ὀστρακοῦ κύκλον, ὥστε ἴσας τὰς ἐκ τοῦ
κέντρου προσπίπτειν αὐτῇ. Φασὶν δὲ καὶ περὶ ρλη'
τὸν τῆς Ἰταλίας πορθμοὺς φθίνειν καὶ πλη-
ροῦσθαι κατὰ τὴν μείωσιν τῆς σελήνης καὶ αὔξη-
σιν. Ἑλλανικὸς δ' ὁ Λέσβιος, ἐν Θήβαις ταῖς ρλθ'
Αἰγυπτίαις ἱστορεῖ σπήλαιον ἐν ἄστει, καθ' ὃ εἶναι
μὲν, τὰς μὲν τριακάδες νηνεμίαν, τὰς δ' ἄλ-
λας ἡμέρας, ἄνεμον. Δόξαι δ' ἀνεξεταστόν τι ρμ'
ἔχειν καὶ δυσπαρατήρητον ἡ ἐκλογή, καθάπερ
ὁ Εὔειπος ταῖς ἑβδόμαις οὐ στρέφεται· καὶ
ὅτι οἱ μύρμηκες ταῖς νουμηνίαις ἀναπαύονται.
Οἱ Δελφοὶ δὲ λέγουσιν, ὅτι ἐν τῷ Παρνασσῷ ρμα'
κατά τινας χρόνους, τὸ κωρύκιον φαίνεσθαι χρυ-
σοειδές· διὸ καὶ τὸν Φιλόξενον, οὐδεὶς ἀνήκοον
λαβεῖν εἴποι, λέγονθ' οὕτως·

Αὐτοὶ γὰρ διὰ Παρνασοῦ χρυσορόφους
Νυμφίων εἴσω θαλάμων.

Ἐν δὲ τοῖς Φύλλοις λέγεται, τὰς ποίμνας διὰ ρμβ'
πέμπτης ἡμέρας ποτίζεσθαι. Τούτου δὲ παραδο- ρμγ'
ξότερον ἐν Ζακύνθῳ· ὑπὸ γὰρ τῶν ἐτησίας χαί-
νοντες ἑστήκασιν οἱ τράγοι πρὸς τὸν Βορέαν· καὶ
τοῦτο πράττοντες οὐ προσδέονται ὕδατος,
οὐδὲ πίνουσιν. Πεποίηται δέ τινα καὶ ὁ Κυ- ρμδ'
ρηναῖος Καλλίμαχος ἐκλογὴν τῶν παραδόξων·
ἧς ἀναγράφομεν ἅ ποτε ἡμῖν ἐφαίνετο εἶναι

ἀκοῆς ἄξια, φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἐν τῇ κατὰ
ἱερὸν ὄρος θαλάττῃ τῆς Θρᾴκης, ἐπιπολάζει
κατά τινας χρόνους ἄσφαλτος· ἡ δὲ κατὰ
χελιδόνας, ὅτι ἐπὶ πολὺν τόπον ἔχει γλυκείας
ρμε' πηγάς. Θεόφραστος δὲ τὰς περὶ τὰς
Αἰόλου νήσους ἀναζεῖν οὕτως ἐπὶ δύο πλέθρων
τὸ μῆκος, ὥστε μὴ δυνατὸν εἶναι διὰ τὴν
ρμς' θερμασίαν ἐμβαίνειν εἰς ταύτην. Ἐκ δὲ τοῦ
κατὰ Δῆλον νῆσον τὴν Καρχηδονίων τοὺς κολυμ-
βητὰς ἀναφέρειν ἐν δύο ὀργυίαις χαλκὸν, ἐξ οὗ καὶ
τοὺς ἐν Φαινεῷ τοὺς ὑπὸ Ἡρακλέως ἀνατιθέν-
ρλζ' τας ἀνδριάντας εἰργάσθαι. Μεγασθένην
δὲ τὸν τὰ Ἰνδικὰ γεγραφότα, ἱστορεῖ ἐν τῇ κα-
τὰ τὴν Ἰνδικὴν θαλάττῃ, δένδρεα φύεσθαι.
ρμη' Περὶ δὲ τῶν ποταμῶν καὶ κρηνῶν, Λύκον μὲν
φησιν λέγειν· ὅτι ὁ μὲν Καμίσκος θαλάττης
ῥεούσης ῥεῖ· ὁ δὲ Κάπαιος καὶ Κριμίσιος, ὅτι
τὰ μὲν ἐπὶ πολλῆς τῶν ὑδάτων εἰσὶ ψυχροί· τὰ
δὲ κάτω, θερμοί· τὴν δ' ἡμέραν ἐκ μιᾶς πη-
γῆς φερόμενον, τὸ μὲν ἁλυκὸν τῶν ῥείθρων ἔχειν,
ρμθ' τὸ δὲ πότιμον. Τίμαιον δὲ τῶν ἐν Ἰταλίᾳ
ποταμῶν ἱστορεῖν, Κρᾶθιν ξανθίζειν τὰς τρίχας.
ρν' Πολύκριτον δὲ καταγεγραφέναι· τὸν μὲν ἐν
Σόλοις, οὐ ψευδῶς ὠνομάσθαι λίπαριν, ἀλλ'
οὕτως ἀπολιπαίνειν, ὥστε μὴ προσδεῖσθαι ἀ-
λείμματος· τὴν δὲ ἐν Παμφυλίᾳ μούχειν ἀπο-
λιθοῦν,

λιθοῦν, ἐάν τις ἐμβάλῃ στοιβὴν ἢ λίθον. Πε- ρνα'
ρὶ δὲ τὴν τῶν Ἀγρίων Θρᾳκῶν χώραν, φησὶν
ποταμὸν προσαγορευόμενον πόντον, καταφέ-
ρειν λίθους ἀνθρακώδεις· τούτους δὲ καίεσθαι μὲν,
πᾶν δὲ τοὐναντίον πάσχειν τοῖς ἐκ τῶν ξύλων
ἀνθρακευομένοις· ὑπὸ μὲν γὰρ τῶν ῥιπίδων
πνευματιζομένους, σβέννυσθαι· τῷ δὲ ὕδατι
ῥαινομένους, βέλτιον καίεσθαι· τὴν δ' ὀσμὴν αὐ-
τῶν οὐδὲν ὑπομένειν ἑρπετόν. Τὴν δ' ἐν Λυ- ρνβ'
σοις κρήνην καθάπερ παρὰ τοῖς Λαμψακηνοῖς,
ἔχειν ἐν ἑαυτῇ μῦς ὁμοίως τοῖς κατοικιδίοις· ἱστο-
ρεῖν δὲ ταῦτα Θεόπομπον. Εὔδοξον δὲ τὴν ἐν ρνγ'
Ἄλφῳ ὀφελίουσαν, τὸν ἀλφὸν παύειν. Λύκον δὲ ρνδ'
τὸν Ῥηγῖνον λέγειν, τὴν μὲν ἐν τῇ Σικανῶν χώ-
ρᾳ φέρειν ὄξος, ᾧπερ ἀντὶ τῶν ἐδεσμάτων
χρῶνται. τὴν δὲ ἐν κυστράτῳ οἷον ἐλαίῳ ῥεῖν·
τοῦτο δ' ἔν τε τοῖς λύχνοις καίεσθαι, καὶ δύνα-
σθαι φύματα καὶ ψώραν ἰᾶσθαι προσαγο-
ρευόμενον κυστραῖον· πλησίον δὲ εἶναι· τὴν
ἀπὸ μὲν Ἀρκτούρου μέχρι πλειάδος ἀναβάλλου-
σαν, οὐθενὸς χεῖρον τῶν ἄλλων ὑδάτων· ἀπὸ δὲ
πλειάδος μέχρι πρὸς Ἀρκτοῦρον· τὰς μὲν ἡμέ-
ρας καπνὸν ἀναφέρουσαν, καὶ πνέουσαν θερ-
μὸν, ἐν δὲ τῇ νυκτὶ φλογὸς πληρουμένην. Ἀρέ- ρνε'
θουσαν δὲ τὴν ἐν Συρακούσαις, ὥσπερ οἱ λοι-
ποὶ φασὶν, ὁ Πίνδαρος· τὴν πηγὴν ἔχειν, ἐκ τοῦ

κατὰ τὴν Ἠλίαν Ἀλφειοῦ· διὸ καὶ ταῖς Ὀλυμ-
πικαῖς ἡμέραις ὅταν ἐν τῷ ποταμῷ ἀποπλύ-
νουσιν τῶν θυμάτων τὰς κοιλίας, οὐ καθα-
ρὰν εἶναι τὴν ἐν τῇ Σικελίᾳ κρήνην, ἀλλὰ ῥεῖν
ὄνθῳ· φησὶν δὲ καὶ φιάλην ποτ' εἰς τὸν Ἀλφειὸν
ἐμβληθεῖσαν ἐν ἐκείνῃ φανῆναι· τοῦτο δ' ἱστορεῖ
ρνϛ' καὶ Τίμαιος· Θεόπομπον δέ φησιν γρά-
φειν, τὴν μὲν ἐν Κιγχρώπωσιν τοῖς Θραξὶν τὸν
ρνζ' ἀπογευσάμενον τελευτᾶν εὐθύς. Ἐν Σκο-
τούσῃ δ' εἶναι κρήνην ἰδίαν οὐ μόνον ἀνθρώ-
πων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυ-
ναμένην· κἂν ξύλον δὲ σχίσας ἢ θραύσας ἐμβά-
ρνη' λῃς, συμφύειν. Ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅτ'
ρνθ' ἂν ἀφεψηθῇ τὸ ὕδωρ, ἅλας γίνεσθαι. Τῶν δ'
ἐν Ἄμμωνι κρηνῶν, λέγειν Ἀριστοτέλη, ὅτι τὴν μὲν
ἡλίου γε νομιζομένην, μέσων μὲν νυκτῶν καὶ
μεσημβρίας γίγνεσθαι θερμὴν, ἕωθεν δὲ καὶ δεί-
λης, καθάπερ εἰ κρύσταλλον, ἣ δ' ἄλλη διότι κα-
ταβαίνοντος μὲν ἡλίου, πηγνύει· ὑποδυσμαῖς
ρξ' δ' ἰόντος, ἵσταται· Κτησίαν δὲ τὴν ἐν Αἰθιο-
πίᾳ τὸ μὲν ὕδωρ ἔχειν ἐρυθρὸν, ὡσανεὶ κιννάβα-
ρι· τοὺς δ' ἀπ' αὐτῆς πόντας, παράφρονας γί-
νεσθαι· τοῦτο δ' ἱστορεῖ ὁ Φίλων, ὁ τὰ Αἰθιο-
ρξα' πικὰ συγγραψάμενος. Τὴν δὲ ἐν τοῖς Ἰν-
δικοῖς κρήνην * ἴλαν οὐδὲ γοκοῦφατα τούτων
βληθέντων αἰεν ἐπιμένειν, ἀλλὰ πάντα κα-
θέλκειν·

*

θέλκειν· καὶ ταῦτα δὲ πλείους εἰρήκασιν, καὶ
ἐπὶ πλειόνων ὑδάτων. Εὔδοξον δ' ἱστορεῖν, ρξβ
τὴν μὲν ἐν Καρχηδόνι κροκοδείλους ἐν αὐτῇ μι-
κροὺς ὁμοίους τοῖς ἐν Αἰγύπτῳ. Περὶ δὲ τῆς Ἀ- ρξγ
θαμανίαν ἱερὸν εἶναι νυμφῶν, ἐν ᾧ τὴν κρήνην
τὸ μὲν ὕδωρ ἔχειν, ἄφατον ὡς ψυχρὸν· ὃ δ' ἂν
ὑπερθῇς αὐτοῦ, θερμαίνειν· ἐὰν δέ τις φρύγα-
νον, ἢ ἄλλο τι τῶν τοιούτων προσενέγκῃ, μετὰ
φλογὸς καίεσθαι. Κατὰ δὲ τὴν Ἀραβίαν ἐν ρξδ
πόλει Λευκοθέᾳ, Ἀμώμητόν φησιν γράφειν
τὸν πραγματευθέντα τὸν ἐκ Μέμφεως ἀνά-
πλουν, εἰς τὴν καλουμένην Ἴσιδος κρήνην,
ἄν τις οἴνου ἐπιχέῃ κοτύλην, διότι γίγνεται τὸ
ποτὸν εὔκρατον. Περὶ δὲ λιμνῶν Κτησίαν μὲν ρξε
ἱστορεῖν λέγεται, τῶν ἐν Ἰνδοῖς λιμνῶν, τὴν μὲν
τὰ εἰς αὐτὴν ἀφιέμενα καταδέχεσθαι, καθά-
περ τὴν ἐν Σικελίᾳ καὶ Μήδοις, πλὴν χρυ-
σίου καὶ σιδήρου καὶ χαλκοῦ· καὶ ἄν τι ἐμπέσῃ
πλάγιον, ὀρθὸν ἐκβάλλειν· ἰᾶσθαι δὲ τὴν καλου-
μένην λεύκην· τῇ δ' ἑτέρᾳ κατὰ τὰς ἰσαζού-
σας ἡμέρας ἐπιπολάζειν ἔλαιον. Ζηνόφι- ρξϛ
λον δὲ ἐν μὲν τῇ πλησίον Ἰόππῃ οὐ μόνον ἐπιδέ-
χεσθαι πᾶν βάρος, ἀλλὰ καὶ παρὰ τρίτον
ἔτος φέρειν ὑγρὰν ἄσφαλτον· ὅταν δὲ γίγνη-
ται τοῦτο, παρὰ τοῖς ἐντὸς τριάκοντα στα-
δίων οἰκοῦσιν, μειοῦσθαι χαλκώματα. Τὴν ρξζ

ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γρά-
φειν, ὅτι οὐδὲν τῶν ὀρνίθων ὑπεραίρειν· τὸ δὲ
προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν· ὃ δὴ καὶ
περὶ τὴν ἀορνέτιν δοκεῖ γίγνεσθαι καὶ κατί-
ρξη' σχυκεν ἡ φήμη παρὰ τοῖς πλείστοις. Ὁ δὲ Τί-
μαιος τοῦτο μὲν ψεῦδος ἡγεῖται εἶναι· τὰ πλεῖ-
στα γὰρ κατὰ τύχην τῶν εἰθισμένων περὶ αὐτὴν
διαιτᾶσθαι· ἐκεῖνο μέν τοι λέγειν· διότι συνδέν-
δρων τόπων ὑπερκειμένων αὐτῇ, καὶ πολλῶν
κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν
μὲν κατακλωμένων, τῶν δὲ ἀποσειομένων οὐθὲν
ἔστιν ἰδεῖν ἐπ' αὐτῇ ἐφεστηκὸς, ἀλλὰ διαμένειν κα-
ρξθ' θαράν. Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν
Εὔδοξον ἱστορεῖν, ὅτι ἀναφέρεται πίσσα, καί τοι
περιεχούσης αὐτῆς ἰχθῦς· ὅτι δ' ἂν ἐμβάλλῃς εἰς
ταύτην ἐπὶ θαλάττης φαίνεσθαι, τεττάρων ὄν-
ρο' των ἀνὰ μέσον σταδίων. Λύκον δὲ περὶ τὴν ἐν
Μύλαις τῆς Σικελίας, δένδρα φύεσθαι· διὰ μέ-
σης δ' αὐτοῦ ἀναθεῖν ὕδωρ, τὸ μὲν ψυχρὸν, τὸ δὲ
ροα' τοὐναντίον. Φανίαν δὲ τὴν τῶν Πυράκων λί-
ροβ' μνην, ὅταν ἀναξηρανθῇ, καίεσθαι. Καὶ τὴν Ἀσ-
κανίαν ποταμὸν οὖσαν, τὸ προσενεχθὲν αὐτῇ,
πλύνειν ἄνευ ῥύμματος· ἐὰν ἐαθῇ δὲ ἐν αὐτῇ
ρογ' πλείω χρόνον διαπίπτειν αὐτόματον. Περὶ δὲ
τοῦ ἐν Κίττῳ φασὶν Νικαγόραν, ὅτι ἀνασμηθείσης
ροδ' ἐπ' ὀλίγον τῆς γῆς, ἅλες εὑρίσκονται. Περὶ
τῶν

τῶν αὐτῶν ὑδάτων, Θεόφραστόν φασι, τὸ καλούμενον στυγὸς ὕδωρ λέγειν, ὅτι ἐστὶν ἐν Φοινίῳ, στάζει δ' ἔκ τινος πετριδίου· τοὺς δὲ βουλομένους αὐτοῦ ὑδρεύεσθαι, σπόγγοις πρὸς ξύλοις δεδεμένοις, λαμβάνειν· διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίνων· τοὺς δὲ ἀπογευσαμένους, τελευτᾶν. Ἐν δὲ τῇ Λεοντίνων ἱστορεῖν Λύκον τοὺς ὀνομαζομένους, ἀναζεῖν μὲν, ὡς θερμότατον τῶν ἑψομένων· τὰς δὲ πηγὰς ἔχειν ψυχράς· τῶν δὲ πλησιαζόντων αὐτοῖς, τὸ μὲν τῶν ὀρνίθων γένος, ἀποθνήσκειν εὐθύς· τοὺς δὲ ἀνθρώπους μετὰ τρίτην ἡμέραν. ροε'

Ὅμοιον δὲ τούτῳ καὶ τὸ περὶ τὸν Κώων χύτρινον γίνεσθαι· καὶ γὰρ ἐκεῖνον ἀτμὸν μὲν ἐκβάλλειν, καὶ ποιεῖν ἔμφασιν τόξιον· τὰ δὲ καθειμένα καθ' ὑπερβολὴν ψύχειν. ροϛ'

Εἶναι δὲ παρὰ τοῖς Κώοις καὶ ἄλλο τι ῥευμάτιον, ὃ πάντας τοὺς ὀχετοὺς ὅθεν ἂν διαῤῥεῖν, λίθους πεποίηκεν· τοῦτο δὲ καὶ Εὔδοξος καὶ Καλλίμαχος παραλείπουσιν, ὅτι ἐκ τούτου δὲ τοῦ ὕδατος οἱ Κῷοι λίθους λατομήσαντες, ᾠκοδόμησαν τὸ θέατρον· οὕτως ἰσχυρῶς ἀπολιθοῦται πᾶν γένος. ροζ'

Λέγειν δὲ τὸν Εὔδοξον, καὶ περὶ τῶν ἐν τῇ Μυθοπόλει φρεάτων, ὅτι παραπλήσιόν τι τῷ Νείλῳ πάσχουσι· τοῦ μὲν γὰρ θέρους, ὑπὲρ τὰ χείλη πληροῦσθαι. τοῦ δὲ χειμῶνος οὕτως ἐκλείπειν, ὥστε μηδὲ βάψαι ῥᾴδιον εἶναι. ροη'

ροθ' Καὶ περὶ τοῦ κατὰ τὴν Κρήτην ὕδατος, οὗ οἱ ὑπερ-
καθίζοντες ὅταν ὑετὸς ᾖ διατελοῦσιν ἄβροχοι·
παραδίδοσθαι δὲ τοῖς Κρησὶν, ἀπ' ἐκείνου λούεσθαι
ρπ' τὴν Εὐρώπην ἀπὸ τῆς τοῦ Διὸς μίξεως. Ἐν δὲ Λυ-
κήταις Θεόπομπον φάσκειν τι εἶναι ὕδωρ ὀξύ·
τοὺς δὲ ἐκ τούτου πίνοντας, ὥσπερ ὑπὸ τῶν οἴνων
ἀλλοιοῦσθαι, καὶ τοῦθ' ὑπὸ πλειόνων μαρτυ-
ρπα' ρεῖται. Τὸ δ' ἐκ τῆς πέτρας Ἀρμενίων ἐκ-
πίπτον Κτησίαν ἱστορεῖν· ὅτι συμβάλλει ἰχθῦς μέ-
ρπβ' λανας, ὥστε τὸν ἀπογευσάμενον τελευτᾶν. Πε-
ρὶ δὲ πυρὸς Κτησίαν φησὶν ἱστορεῖν, ὅτι περὶ τὴν
τῆς Φασηλίτης χώραν ἐπὶ τοῦ τῆς Χιμαίρας
ὄρους ἐστὶ τὸ καλούμενον ἀθάνατον πῦρ· τοῦτο
δὲ ἐὰν μὲν εἰς ὕδωρ ἐμβάλῃς, καίεσθαι βέλτιον·
ἐὰν δὲ φορτίον ἐπιβαλὼν πνίξῃ τις, σβέννυσθαι.
ρπγ' Παραπλήσιον δὲ τούτῳ ὁρᾶται γινόμενον ἐπὶ
ἁλὸς· ἱστορήσατο γὰρ ἡμῖν Σικελὸς ξένος τοιοῦ-
τον· ὃ ἐν μὲν τῷ πυρὶ ἐτήκετο, ἐν δὲ τῷ ὕδατι,
ρπδ' ἤλλετο. Περὶ δὲ λίθων τὸν αὐτὸν τοῦτον λέγειν,
τὸν παρὰ τοῖς Βοττιαίοις ἐν Θρᾴκῃ γινόμενον· ὅταν
ὁ ἥλιος προσβάλλῃ, πῦρ ἐξ αὐτοῦ ἐκθυμιᾶσθαι·
ἐκεῖνος δ' ἵνα παρέχῃ, γνοὺς μὲν τὴν τῶν ἀνθρά-
κων χροιὰν διαμένοντας ἀφθάρτους· κἂν σβέ-
σας τις πάλιν ἐπικεχειρήκασιν τὴν αὐτὴν ἐ-
ρπε' νέργειαν συντελεῖν. Περὶ δὲ τούτων τῆς ἀκαν-
θείσας Ἀριστοτέλην φάσκειν, περὶ τὴν Ἐρύθη-
ναν

ναι εὑρίσκεσθαι διαποικίλους τὴν χρόαν,
ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμωνα δὲ ὁ Κι-
θαρῳδὸς ἔχειν καὶ ἐπεδείκνυεν πολλοῖς,
φάσκων αὐτῷ, τὸν διδάσκαλον Ἀριστοκλῆν
δεδωρῆσθαι· εἶναι δ' αὐτὴν τὴν ἁφὴν ἐν τῇ
χρείᾳ σκληράν. Περὶ δὲ Θεσπρωτοὺς ἐκ ρπϛ
τῆς γῆς ἄνθρακας ὀρύττεσθαι δυνάμεις καίε-
σθαι, Θεόπομπόν φησὶν καταγράφειν.
Φανίαν δὲ κατά τινας τόπους τῆς Λέσβου, ὃ ρπζ
περὶ τῶν νεανδρείδων· τὰς βόλους πρὸς τὰς
τῶν ὄψεων καθηγήσεις γίνεσθαι καὶ χρησί-
μας· καὶ εἰς ὕδωρ ἐμβληθείσας οὔτε καταδύ-
νειν, οὔτε κατατήκεσθαι· ἀπὸ τούτου δὲ γέ-
νος πίπτοι ἄν, καὶ ὥσπερ ταύτη πλίνθος, ἡ λε-
γομένη ὑπερπλεῖν. Περὶ δὲ τῶν Τώων Λύ- ρπη
κων μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν ἱστορεῖν
τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῶν Μήδων ὅτ᾽ ἂν
παραβάλλῃ τὶς εἰς τοὺς τόπους, οὐ μόνον φαινο-
μένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομέ-
νους εἰς τοὺς κόλπους ἐνδύνειν καὶ σαίνειν
φιλοφρόνως· λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ
τῶν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων,
εἰς τὴν τῶν ὀρνέων τούτων φύσιν μετασχημα-
τισθέντων. Τοὺς δὲ περὶ τὴν Ἀσίαν ἐνοι- ρπθ
κοῦντας Ἐνετοὺς Θεόπομπον φάσκειν κα-
τὰ τὸν σπόρου καιρὸν, τοῖς κολοιοῖς ἀπο-

στέλλειν δῶρα, ταῦτα δ' εἶναι ψαιστὰ καὶ μάζας· προσθέντας δὲ σὺν ταῦτα κομίζοντας ἀποχωρεῖν· τῶν δὲ ὀρνέων τὸ μὲν πλῆθος ἐν τοῖς ὁρίοις μένειν τῆς χώρας συνηθροισμένον· δύο δ' ἢ τρεῖς πρὸς πάντας καὶ καταμαθόντας, ἀφίπτασθαι πάλιν καθάπερ εἴ τινας πρέσβεις ἢ κατασκόπους· ἐὰν μὲν οὖν τὸ πλῆ *

Reliqua desiderantur.

ΜΑΡΚΟΥ